ARISTOTELIS ARTIS RHETORICÆ COMPENDIUM.

Ad uſum conficiendarum orationum ordinatum,

Junioribus ad verbum ediſcendum.



LONDINI,

Typis *MARIÆ CLARKE*,

M.DC.LXXXIII.




BIBLIOTHECA BODLEIANA

ἈΡΙΣΤΟΤΕΛΟΥΣ ΤΕΧΝΗΣ ῬΗΤΟΡΙΚΗΣ

Ἐπιτομή.

Ἔστω ἡ ῥητορικὴ δύναμις περὶ ἕκαστον τοῦ θεωρῆσαι τὸ ἐνδεχόμενον πιθανόν. Τρία ἐστίν, ἃ δεῖ πραγματευθῆναι περὶ τὸν λόγον· ἓν μέν, ἐκ τίνων αἱ πίστεις ἔσονται· δεύτερον δὲ περὶ τὴν λέξιν· τρίτον δέ, πῶς χρὴ τάξαι τὰ μέρη τοῦ λόγου. τῶν δὲ πίστεων αἱ μὲν ἄτεχνοι εἰσίν· αἱ δὲ ἔντεχνοι. ἄτεχνα δὲ λέγω, ὅσα μὴ δι' ἡμῶν πεπόρισται, ἀλλὰ προϋπῆρχεν, οἷον μάρτυρες, βάσανοι, συνθῆκαι, νόμοι, ὅρκος· ἔντεχνα δέ, ὅσα διὰ τῆς μεθόδου, καὶ δι' ἡμῶν κατασκευασθῆναι δυνατόν· ὥστε δεῖ τούτων τοῖς μὲν χρήσασθαι· τὰ δὲ εὑρεῖν. Τῶν δὲ διὰ τοῦ λόγου πορίζομένων πίστεων τρία εἴδη ἐστίν· αἱ μὲν γάρ εἰσιν ἐν τῷ ἤθει τοῦ λέγοντος· αἱ δὲ ἐν τῷ τὸν ἀκροατὴν διαθεῖναί πως· αἱ δὲ ἐν αὐτῷ τῷ λόγῳ διὰ τοῦ δεικνύναι, ἢ φαίνεσθαι δεικνύναι.

δεικνύναι. πάντες δὲ τὰς πίστεις ποιοῦνται
διὰ τοῦ δεικνύναι, ἢ παραδείγματα λέ-
γοντες, ἢ ἐνθυμήματα. καλῶ δὲ ἐνθύμη-
μα μὲν ῥητορικὸν συλλογισμόν· παράδειγμα
δὲ ἐπαγωγὴν ῥητορικήν· ἔστι δὲ τό τε ἐνθύμη-
μα, καὶ τὸ παράδειγμα περὶ πιθανά· ταῦτα
δὲ ἐστὶν ἐξ ὁμολογουμένων, καὶ ἐνδόξων· καὶ
περὶ τοιούτων, περὶ ὧν βουλευόμεθα. καὶ περὶ
τῶν ἐνδεχομένων, ὡς τὰ πολλὰ ἔχειν καὶ ἄλ-
λως. ἔστιν γὰρ ὀλίγα μὲν τὰ ἀναγκαῖα, περὶ
ὧν οἱ ῥητορικοὶ συλλογισμοί εἰσιν· τὰ δὲ
πολλά, περὶ ὧν αἱ κρίσεις, καὶ αἱ σκέψεις, ἐν-
δέχεται καὶ ἄλλως ἔχειν. λέγεται δ᾽ ἐνθυ-
μήματα ἐξ εἰκότων, καὶ σημείων. τῶν δὲ
ἐνθυμημάτων εἰσὶ ταῦτε εἴδη, καὶ οἱ τόποι.
λέγω δὲ εἴδη μὲν τὰς καθ᾽ ἕκαστον γένος ἰδίας
προτάσεις· τόπους δὲ τοὺς κοινοὺς ὁμοίως
πάντων· καὶ ἐνθύμημα ἐστὶν ἐξ ὀλίγων τε,
καὶ ἐλαττόνων, ἢ ἐξ ὧν ὁ πρῶτος συλλο-
γισμός· ἐὰν γὰρ ᾖ τι τούτων γνώριμον, οὐδὲ
δεῖ λέγειν· αὐτὸς γὰρ τοῦτο προστίθησιν ὁ
ἀκροατής, οἷον ὅτι Δωριεὺς στεφανίτην ἀ-
γῶνα νενίκηκεν, ἱκανὸν εἰπεῖν, ὅτι Ὀλύμ-
πια νενίκηκε· τὸ δ᾽ ὅτι στεφανίτης τὰ Ὀ-
λύμπια, οὐδὲ δεῖ προσθεῖναι· γινώσκουσι
γὰρ πάντες. παράδειγμα δὲ, ὅτι μὲν ἐστὶ ἐπα-

γωγῆ, καὶ περὶ ποίας ἐπαγωγῆς, εἴρηται, ἔστι δὲ οὔτε ὡς μέρος πρὸς ὅλον· οὔτε ὡς ὅλον πρὸς μέρος· οὔτε ὡς ὅλον πρὸς ὅλον· ἀλλ' ὡς μέρος πρὸς μέρος, ὅμοιον πρὸς ὅμοιον, ὅταν ἄμφω μὲν ᾖ ὑπὸ τὸ αὐτὸ γένος, γνωριμώτερον δὲ θάτερον ἢ θατέρου· οἷον, ὅτι ἐπεβούλευε τυραννίδι Διονύσιος, αἰτῶν τὴν φυλακὴν, καὶ γὰρ Πεισίστρατος πρότερον ἐπιβουλεύων ᾔτει τὴν φυλακὴν, καὶ λαβὼν ἐτυράννησε· καὶ Θεαγένης ἐν Μεγάροις· καὶ ἄλλοι, ὅσους ἴσασι, παράδειγμα πάντες γίνονται τοῦ Διονυσίου, ὃν οὐκ ἴσασί πω εἰ διὰ τοῦτο αἰτεῖ. πάντα δὲ ταῦτα ὑπὸ τὸ αὐτὸ καθόλου, ὅτι ἐπιβουλεύων τυραννίδι φυλακὴν αἰτεῖ. τὸ ἦθος ἐστὶ δευτέρα πίστις. τοῦ μὲν οὖν αὐτοὺς εἶναι πιστοὺς τοὺς λέγοντας, τρία ἐστὶ τὰ αἴτια· τοσαῦτα γάρ ἐστι δι' ἃ πιστεύομεν ἔξω τῶν ἀποδείξεων. ἔστι δὲ ταῦτα φρόνησις, καὶ ἀρετὴ, καὶ εὔνοια. τὰ δὲ ἤθη ποῖοί τινες κατὰ τὰ πάθη καὶ τὰς ἕξεις, καὶ τὰς ἡλικίας, καὶ τὰς τύχας, διέλθωμεν μετὰ ταῦτα. λέγω δὲ πάθη μὲν ὀργὴν, ἐπιθυμίαν, καὶ τὰ τοιαῦτα· ἕξεις δὲ ἀρετὰς, καὶ κακίας· ἡλικίαι δὲ εἰσὶ νεότης, καὶ ἀκμὴ, καὶ γῆρας· τύχας δὲ λέγω εὐγένειαν, πλοῦτον, δυνάμεις, καὶ τἀναντία τούτοις,

καὶ

καὶ ὅλως εὐτυχίαν, καὶ δυστυχίαν. ἔστι δὲ τὰ πάθη δι' ὅσα μεταβάλλοντες διαφέρουσι πρὸς τὰς κρίσεις, οἷς ἕπεται λύπη, καὶ ἡδονή, οἷον ὀργή, ἔλεος, φόβος, καὶ ὅσα ἄλλα τοιαῦτα, καὶ τὰ τούτοις ἐναντία. περὶ δὲ τῆς λέξεως ἐχόμενόν ἐστιν εἰπεῖν. οὐ γὰρ ἀπόχρη τὸ ἔχειν, ἃ δεῖ λέγειν, ἀλλ' ἀνάγκη καὶ ταῦτα ὡς δεῖ εἰπεῖν καὶ συμβάλλεται πολλὰ πρὸς τὸ φανῆναι ποιόν τινα τὸν λόγον. καὶ ὡρίσθω λέξεως ἀρετὴ σαφῆ εἶναι. καὶ μήτε ταπεινήν, ἀλλὰ κεκοσμημένην. μήτε ὑπὲρ τὸ ἀξίωμα, ἀλλὰ πρέπουσαν. ἔστι δὲ ἀρχὴ τῆς λέξεως τὸ ἑλληνίζειν. εἰς ὄγκον δὲ τῆς λέξεως συμβάλλεται τὸ λόγῳ χρῆσθαι ἀντὶ ὀνόματος. εἰς δὲ συντομίαν τὸ ἐναντίον, ἀντὶ τοῦ λόγου ὄνομα. τὸ δὲ πρέπον ἕξει ἡ λέξις, ἐὰν ᾖ παθητική τε, καὶ ἠθική, καὶ τοῖς ὑποκειμένοις πράγμασιν ἀνάλογον. τὸ δὲ σχῆμα τῆς λέξεως δεῖ μήτε ἔμμετρον εἶναι, μήτε ἄρρυθμον. τὴν δὲ λέξιν ἀνάγκη εἶναι ἢ εἰρομένην, ἢ κατεστραμμένην. τὰ δὲ ἀστεῖα, καὶ τὰ εὐδοκιμοῦντα ποιεῖν μέν ἐστι τοῦ εὐφυοῦς, ἢ τοῦ γεγυμνασμένου. δεῖξαι δὲ τῆς μεθόδου ταύτης. δεῖ δὲ μὴ λεληθέναι ὅτι ἄλλη ἑκάστῳ γένει ἁρμόττει λέξις. οὐ γὰρ ἡ αὐτὴ γραφική, καὶ ἀγωνιστική. οὐδὲ δημη-

γορική,

γορικὴ, καὶ δικανικὴ. ἔστι δὲ λέξις γραφικὴ μὲν, ἡ ἀκριβεστάτη· ἀγωνιστικὴ δὲ ἡ ὑποκριτικωτάτη. ταύτης δὲ δύο εἴδη· ἡ μὲν γὰρ ἠθικὴ· ἡ δὲ παθητικὴ· λοιπὸν δὲ περὶ τάξεως εἰπεῖν. ἔστι δὲ τοῦ λόγου δύο μέρη, πρόθεσις, καὶ πίστις. ἀναγκαῖα μὲν οὖν, καὶ ἴδια ταῦτα μόρια· τὰ δὲ πλεῖστα, προοίμιον, πρόθεσις, πίστις, ἐπίλογος. τρία δὲ γένη τῶν λόγων τῶν ῥητορικῶν, συμβουλευτικὸν, δικανικὸν, ἐπιδεικτικόν.

Περὶ τοῦ γένους συμβουλευτικοῦ.

Καλλίονος, καὶ πολιτικωτέρας τῆς δημηγορικῆς πραγματείας οὔσης ἢ τῆς περὶ τὰ συναλλάγματα, πῶς ἂν δυναίμεθα συμβουλεύειν Ἀθηναίοις. εἰ πολεμητέον, ἢ μὴ πολεμητέον, μὴ ἔχοντες, τίς δύναμις αὐτῶν, πότερον ναυτικὴ, ἢ πεζικὴ, ἢ ἄμφω, καὶ αὕτη πόση· καὶ πρόσοδοι τίνες· ἢ φίλοι, καὶ ἐχθροί· ἔτι δὲ τίνας πολέμους πεπολεμήκασιν, καὶ πῶς, καὶ τἆλλα τὰ τοιαῦτα· ὅλως περὶ πολέμου, καὶ εἰρήνης δέοι τὴν δύναμιν εἰδέναι τῆς πόλεως· πολέμους οὐ μόνον τῆς οἰκείας πόλεως, ἀλλὰ καὶ τῶν ὁμόρων, καὶ πρὸς οὓς ἐπίδοξον πολεμεῖν· καὶ

τὰς δυνάμεις, πότερον ὅμοιαι, ἢ ἀνόμοιαι· πολέμους δὲ τοὺς τῶν ἄλλων, περὶ πόρων, τὰς προσόδους τῆς πόλεως. ἔτι δὲ τὰς δαπάνας, πρὸς ἣν συμβουλὴν συμφέρει οὐ μόνον ἡ περὶ τὰ ἴδια ἐμπειρία, ἀλλὰ καὶ τῶν παρὰ τοῖς ἄλλοις εὑρημένων ἱστορία. περὶ φυλακῆς τῆς χώρας, πῶς φυλάττεται· καὶ τὸ πλῆθος τῆς φυλακῆς· καὶ τὸ εἶδος· καὶ τοὺς τόπους τῶν φυλακτηρίων· τοῦτο δ' ἀδύνατον, μὴ ἔμπειρον ὄντα τῆς χώρας. περὶ τροφῆς, πόση δαπάνη ἱκανὴ τῇ πόλει· καὶ ποία ἡ αὐτόθι τε γιγνομένη. καὶ εἰσαγώγιμος· καὶ τίνων τῆς ἐξαγωγῆς δέονται· καὶ τίνων εἰσαγωγῆς. περὶ νομοθεσίας, πόσα τέ ἐστι πολιτειῶν εἴδη· καὶ ποῖα συμφέρει ἑκάστῃ· καὶ ὑπὸ τίνων φθείρεσθαι πέφυκε, καὶ οἰκείων τῆς πολιτείας, καὶ ἐναντίων· μὴ μόνον, ὡς πολιτεία συμφέρει. ἀλλὰ καὶ αἱ ποῖαι τοῖς ποίοις ἁρμόττουσιν. ὥστε δῆλον, ὅτι πρὸς τὴν νομοθεσίαν αἱ τῆς γῆς περίοδοι χρήσιμοι· πρὸς δὲ τὰς πολιτικὰς συμβουλὰς αἱ τῶν περὶ τὰς πράξεις γραφόντων ἱστορίαι. συμβουλῆς ὁ ἀκροατής ἐστι κριτὴς τῶν μελλόντων. ἔστι δὲ ὁ περὶ τῶν μελλόντων κρίνων, οἷον ἐκκλησιαστὴς ἐκ συμβουλῆς ἐστι τὸ μὲν προτροπή· τὸ δὲ ἀποτροπή ἀεὶ

γὰρ

γὰρ καὶ οἱ ἰδίᾳ συμβουλεύοντες, καὶ οἱ κοινῇ
δημηγοροῦντες τούτων θάτερον ποιοῦσι.
χρόνος τῷ συμβουλεύοντι ἐστὶν ὁ μέλλων·
περὶ γὰρ ἐσομένων συμβουλεύει ἢ προτρέ-
πων, ἢ ἀποτρέπων. τέλος δὲ συμφέρον, καὶ
βλαβερόν· ὁ μὲν γὰρ προτρέπων, ὡς βέλ-
τιον συμβουλεύει· ὁ δὲ ἀποτρέπων, ὡς
χεῖρον ἀποτρέπει· τὰ δὲ ἄλλα πρὸς τοῦτο
συμπαραλαμβάνουσιν ἢ δίκαιον, ἢ ἄδικον,
ἢ καλὸν, ἢ αἰσχρόν· οἱ μὲν οὖν συμβουλεύον-
τες τὰ ἄλλα πολλάκις παρίενται· ὡς δὲ
ἀσύμφορα συμβουλεύουσι, ἢ ἀπ᾽ ὠφελί-
μων ἀποτρέπουσιν, οὐκ ἂν ὁμολογήσαιεν·
ὡς δ᾽ οὐκ ἄδικον τοὺς ἀστυγείτονας καταδου-
λοῦσθαι, καὶ τοὺς μηδὲν ἀδικοῦντας, πολλάκις
οὐδὲν φροντίζουσιν· ἐν δὲ τοῖς δημηγορι-
κοῖς, ἢ ὡς οὐκ ἔσται ἀμφισβητήσειεν ἄν τις·
ἢ ὡς ἔσται μὲν, ἃ κελεύει, ἀλλὰ οὐ δίκαια· ἢ
οὐκ ὠφέλιμα· ἢ οὐ τηλικαῦτα· δεῖ δὲ καὶ
ὁρᾶν, εἴ τι ψεύδεται ἐκτὸς τοῦ πράγματος.
τεκμήρια γὰρ ταῦτα φαίνεται καὶ τῶν ἄλλων
ὅτι ψεύδεται. παράδειγμα δὲ χάριν
λάβωμεν, τί ἐστιν, ὡς ἁπλῶς εἰπεῖν, ἡ εὐ-
δαιμονία, καὶ ἐκ τίνων τὰ μόρια ταύτης·
περὶ γὰρ ταύτης, καὶ τῶν εἰς ταύτην συντεινόν-
των, καὶ τῶν ἐναντίων ταύτῃ πάντες προτρέ-

παὶ, καὶ ἀποτροπαὶ πᾶσίν εἰσι. ἔστω δὴ εὐδαιμονία εὐπραξία μετ' ἀρετῆς· ἢ αὐτάρκεια ζωῆς, ἢ βίος μετ' ἀσφαλείας ἥδιστος· ἢ εὐθένεια κτημάτων, καὶ σωμάτων μετὰ δυνάμεως φυλακτικῆς τε, καὶ πρακτικῆς τούτων· εἰ δὴ ἐστιν ἡ εὐδαιμονία τοιοῦτον, ἀνάγκη αὐτῆς εἶναι μέρη τά τ' ἐν αὐτῷ, καὶ τὰ ἐκτὸς ἀγαθά· ἐν αὐτῷ μὲν τὰ περὶ ψυχὴν, καὶ τὰ ἐν σώματι. περὶ ψυχὴν, οἷον ἀρετὴν καὶ τὰ μέρη αὐτῆς, φρόνησιν, ἀνδρείαν, σωφροσύνην, δικαιοσύνην. ἐν σώματι, οἷον εὐγηρείαν, ἢ κατὰ τὰς ἀρετὰς τοῦ σώματος, ὑγίειαν, κάλλος, ἰσχὺν, μέγεθος, δύναμιν ἀγωνιστικήν. ἔξω δὲ, οἷον εὐγένειαν, πολυφιλίαν, χρησοφιλίαν, πλοῦτον, εὐτεκνίαν, πολυτεκνίαν, δόξαν, τιμὴν, εὐτυχίαν. ἐπεὶ δὲ πρόκειται τῷ συμβουλεύοντι σκοπὸς τὸ συμφέρον· βουλεύονται δὲ οὐ περὶ τοῦ τέλους, ἀλλὰ περὶ τῶν πρὸς τὸ τέλος· ταῦτα δὲ ἐστὶ τὰ συμφέροντα κατὰ τὰς πράξεις· τὸ δὲ συμφέρον ἀγαθόν· ληπτέον ἂν εἴη στοιχεῖα περὶ ἀγαθοῦ, καὶ συμφέροντος ἁπλῶς. τῶν δὲ ἀγαθῶν τὰ μὲν ὁμολογούμενα ἐστὶν, οἷον ὃ αὐτὸ ἑαυτοῦ ἕνεκα αἱρετόν· τὰ δὲ ἀμφισβητήσιμα, οἷον ᾧ τὸ ἐναντίον κακόν. τὰ δὲ μείζονα, ἢ ἐλάττονα, οἷον, τὰ

πλείω

πλείω τοῦ ἑνὸς, καὶ τῶν ἐλαττόνων συναριθμουμένου τοῦ ἑνὸς, ἢ τῶν ἐλαττόνων, μεῖζον· ἔστι δὲ τῶν κοινῶν τὸ δυνατὸν, καὶ ἐσόμενον, οἰκειότατον τοῖς συμβουλευτικοῖς· δυνατὸν μὲν οὖν ἐστι, οὗ τὸ ἐναντίον δυνατόν· εἰ δυνατὸν ὑγιασθῆναι ἄνθρωπον, καὶ νοσῆσαι· ἡ μὲν αὐτὴ δύναμις τῶν ἐναντίων, ᾗ ἐναντία. ἐσόμενον δέ ἐστι, οἷον τὸ ἐν δυνάμει, καὶ βουλήσει ὄν. τὰ δὲ στοιχεῖα τῶν ἐνθυμημάτων λέγωμεν. στοιχεῖον δὲ λέγω, καὶ τόπον ἐνθυμήματος τὸ αὐτό. τῶν δὲ τόπων οἱ μέν εἰσι τῶν ἐνθυμημάτων· οἱ δὲ τῶν φαινομένων ἐνθυμημάτων, ὄντων δ' οὐκ ἐνθυμημάτων. ἔστι δὲ εἷς μὲν τόπος τῶν ἐνθυμημάτων ἐκ τῶν ἐναντίων· ἄλλος ἐκ τῶν ὁμοίων πτώσεων· ἄλλος ἐκ τοῦ πρὸς ἄλληλα· ἄλλος ἐκ τοῦ μᾶλλον, καὶ ἧττον, καὶ μήτε μᾶλλον, μήτε ἧττον· ἄλλος ἐκ τοῦ εἰς τὸν χρόνον σκοπεῖν· ἄλλος ἐκ τῶν εἰρημένων καθ' αὑτοὺς πρὸς τὸν εἰπόντα· ἄλλος ἐξ ὁρισμοῦ· ἄλλος ἐκ τοῦ ποσαχῶς· ἄλλος ἐκ διαιρέσεως· ἄλλος ἐκ τῆς ἐπαγωγῆς· ἄλλος ἐκ κρίσεως· ἄλλος ἐκ τῶν μερῶν· ἄλλος ἐκ τοῦ ἀκολουθοῦντος· ἄλλος ἐκ βλαισώσεως· ἄλλος ἐκ τοῦ φανερῶς, καὶ ἀφανῶς· ἄλλος ἐκ τοῦ ἀνα-

λόγου·

λογου· ἄλλος ἐκ τοῦ μὴ ταὐτὸ τοὺς αὐ-
τοὺς αἰεὶ αἱρεῖσθαι· ἄλλος τὸ οὗ ἕνεκα ἂν εἴη,
εἰ μὴ γένοιτο, τούτου ἕνεκα φάναι εἶναι, ἢ γε-
γενῆσθαι· ἄλλος εἰ δυνατὸν, καὶ ῥᾴδιον, καὶ
ὠφέλιμον· ἄλλος ἐκ τῶν δοκούντων μὲν γί-
νεσθαι, ἀπίστων δέ· ἄλλος τὸ τὰ ἀνομολο-
γούμενα σκοπεῖν· ἄλλος τὸ λέγειν τὴν αἰτίαν
τοῦ παραδόξου· ἄλλος ἀπὸ τοῦ αἰτίου, ἐάν
τε ὑπάρχῃ, ὅτι ἐστί, κἂν μὴ ὑπάρχῃ,
ὅτι οὐκ ἔστιν· ἄλλος εἰ ἐνεδέχετο βέλ-
τιον· ἄλλος, ὅταν τι ἐναντίον μέλλῃ
πράττεσθαι τοῖς πεπραγμένοις· ἄλλος
ἐκ τῶν ἁμαρτηθέντων· ἄλλος ἀπὸ τοῦ ὀνό-
ματος. τόποι δ' εἰσὶ τῶν φαινομένων ἐν-
θυμημάτων ὁ μὴ συλλογισάμενον συμ-
περασματικῶς τὸ τελευταῖον εἰπεῖν· ὁ παρὰ
τὴν ὁμωνυμίαν· ὁ διῃρημένον συντιθέντα
λέγειν, ἢ τὸ συγκείμενον διαιροῦντα· ὁ
δεινώσει κατασκευάζειν, ἢ ἀνασκευάζειν· ὁ
ἐκ τοῦ σημείου· διὰ τὸ συμβεβηκός· ὁ
παρὰ τὸ ἑπόμενον· παρὰ τὸ ἀναίτιον, ὡς αἴτιον·
παρὰ τὴν ἔλλειψιν τοῦ πότε, καὶ πῶς· παρὰ
μὴ ἁπλῶς εἰκός, ἀλλά τι εἰκός· πολὺ
διαφέρει πρὸς πίστιν, μάλιστα ἐν ταῖς συμ-
βουλαῖς, τό τε ποῖόν τινα φαίνεσθαι τὸν λέ-
γοντα, καὶ τὸ πρὸς αὐτοὺς ὑπολαμβάνειν

ἔχειν

ἔχειν πῶς αὐτόν· τὰ μὲν οὖν ποιόν τινα φαί-
νεσθαι τὸν λέγοντα, χρησιμώτερον εἰς τὰς
συμβουλάς ἐστι, τὸ δὲ διακεῖσθαι πῶς τὸν
ἀκροατήν. Μέγιστον δὲ, καὶ κυριώτατον
ἁπάντων πρὸς τὸ δύνασθαι πείθειν, καὶ
καλῶς συμβουλεύειν τὰ ἑκάστης πολιτείας
ἤθη εἰδέναι. τὰ μὲν οὖν ἤθη φανερὰ κατὰ τὴν
προαίρεσιν· ἡ δὲ προαίρεσις ἀναφέρεται
πρὸς τέλος. τὸ δὲ τέλος ἑκάστης πολιτείας οὐ
δεῖ λανθάνειν· αἱροῦνται γὰρ τὰ πρὸς τὸ
τέλος. εἰσὶ δὲ πολιτεῖαι τέσσαρες, δημοκρα-
τία, ἐν ᾗ κλήροις διανέμονται τὰς ἀρχάς,
καὶ τέλος ἐστὶ ἐλευθερία· ὀλιγαρχία, ἐν
ᾗ οἱ ἀπὸ τιμημάτων, καὶ τέλος πλοῦτος·
ἀριστοκρατία, ἐν ᾗ κατὰ παιδείαν, παιδείαν
δὲ λέγω τὴν ὑπὸ τοῦ νόμου κειμένην, καὶ τέλος
τὰ πρὸς παιδείαν, καὶ τὰ νόμιμα· μοναρ-
χία, ἐν ᾗ εἷς ἁπάντων κύριός ἐστι· τούτων
δὲ ἡ μὲν κατὰ τάξιν τινὰ, βασιλεία· ἡ δὲ
ἀόριστος τυραννίς, καὶ τέλος ἐστὶ φυλα-
κή. ἔτι δὲ πολὺ διαφέρει πρὸς πίστιν,
ἐὰν οἱ ἀκροαταὶ διακείμενοί πως τυγ-
χάνωσι· οὐ γὰρ ταὐτὰ φαίνεται οὕτως καὶ
οὕτως ἔχουσιν, ἀλλ᾽ ἕτερα· τῷ μὲν γὰρ ἐπιθυ-
μοῦντι, καὶ εὐέλπιδι, ἐὰν ᾖ τὸ ἐσόμενον
ἡδὺ, καὶ ἔσεσθαι, καὶ ἀγαθὸν ἔσεσθαι φαίνεται·

τῷ δὲ ἀπαθεῖ, καὶ δυσχεραίνοντι τοὐναντίον. ἔστω δὴ θάρσος μετὰ φαντασίας ἡ ἐλπὶς τῶν σωτηρίων, ὡς ἐγγὺς ὄντων· τῶν δὲ φοβερῶν, ἢ μὴ ὄντων, ἢ πόρρω ὄντων. ἔστω φόβος λύπη τις, ἢ ταραχὴ ἐκ φαντασίας μέλλοντος κακοῦ, ἢ φθαρτικοῦ, ἢ λυπηροῦ, ὃ μὴ πόρρω, ἀλλὰ συνεγγὺς φαίνεται, ὥστε μέλλειν· ἔστω αἰσχύνη λύπη τις, καὶ ταραχὴ περὶ τὰ εἰς ἀδοξίαν φαινόμενα φέρειν τῶν κακῶν, ἢ παρόντων, ἢ γεγονότων, ἢ μελλόντων. ἡ δὲ ἀναισχυντία ὀλιγωρία τις, καὶ ἀπάθεια περὶ αὐτὰ ταῦτα. ἡ δημηγορικὴ λέξις καὶ παντελῶς ἔοικε τῇ σκιαγραφίᾳ. ὅσῳ γὰρ ἂν πλείων ᾖ ὁ ὄχλος, πορρώτερον ἡ θέα. διὸ τὰ ἀκριβῆ περίεργα, καὶ χείρω φαίνεται ἐν ἀμφοτέροις. ἔστι δὲ τοῦ λόγου μέρη, προοίμιον, πρόθεσις, πίστις, ἐπίλογος. τοῦ δὲ λόγου δημηγορικοῦ πῶς ἐνδέχεται διήγησιν εἶναι, οἵαν λέγουσιν; ἢ τὰ πρὸς ἀντίδικον; ἃ ἐν ταῖς δημηγορίαις τότε ἐστὶ, ὅταν ἀντιλογία ᾖ· καὶ γὰρ ἡ κατηγορία, καὶ ἡ ἀπολογία πολλάκις· ἀλλ' οὐχ ἡ συμβουλή. δεῖ δὲ καὶ ἐν συμβουλῇ, καὶ ἐν δίκῃ, ἀρχόμενον μὲν λέγειν τὰς ἑαυτοῦ πίστεις πρότερον. ὕστερον δὲ, πρὸς τἀναντία ἀπαντᾶν, λύοντα, καὶ

προδι-

προσδιασύροντα· διὸ δὲ πολύχους ἡ ἐναντίωσις, πρότερον τὸ ἐνδοῦναι, οἷον ἐποίησε Καλλίστρατος ἐν τῇ Μεσσηνιακῇ ἐκκλησίᾳ, ἃ γὰρ ἐροῦσι προδιομολογῶν οὕτως, τότε αὐτὸς εἶπεν· ὕστερον δὲ λέγοντα πρῶτον, διὰ πρὸς τὸν ἐναντίον λόγον λεκτέον, λύοντα καὶ ἀντισυλλογιζόμενον· καὶ μάλιστα ἂν εὐδοκιμηκότα ᾖ, ὥσπερ γὰρ ἄνθρωπον προδιαβεβλημένον οὐ δέχεται ἡ ψυχή· τὸν αὐτὸν τρόπον οὐδὲ λόγον, ἐὰν ὁ ἐναντίος εὖ δοκῇ εἰρηκέναι. δεῖ οὖν χώραν ποιεῖν ἐν τῷ ἀκροατῇ τῷ μέλλοντι λόγῳ. ἔσται δὲ, ἂν ἀνέλῃς. τὰ δὲ προοίμια τοῦ λόγου δημηγορικοῦ ἐκ τῶν τοῦ δικανικοῦ λόγων ἐστί. φύσει δὲ ἥκιστα ἔχει· καὶ γὰρ περὶ οὗ ἴσασι· καὶ οὐδὲν δεῖται προοιμίου τὸ πρᾶγμα, ἀλλ' ἢ διὰ αὐτόν· ἢ τοὺς ἀντιλέγοντας· ἢ ἐὰν μὴ ἡλίκον βούλει ὑπολαμβάνωσιν, ἀλλ' ἢ μεῖζον, ἢ ἔλαττον. Διὸ ἢ διαβάλλειν, ἢ ἀπολύεσθαι ἀνάγκη. καὶ ἢ αὐξῆσαι· ἢ μειῶσαι. τούτων δὲ ἕνεκα προοιμίου δεῖται· ἢ κόσμου χάριν· ὡς αὐτοκάβδαλα φαίνεται, ἐὰν μὴ ἔχῃ. τοιοῦτον γὰρ τὸ Γοργίου ἐγκώμιον εἰς Ἠλείους· οὐδὲν γὰρ προεξαγωνίσας, οὐδὲ προανακινήσας, εὐθὺς ἄρχεται, Ἦλις πόλις εὐδαίμων. δεύτερον μέρος ἐστὶ

ἡ πρόθεσις. ἐν δὲ δημηγορίᾳ ἥκιστα διή-
γησίς ἐστιν. οὐ γὰρ περὶ τῶν μελλόντων οὐθεὶς
διηγεῖται· ἀλλ' ἐὰν ἄρα διήγησις ᾖ, τῶν γε-
νομένων ἔσται, ἵνα ἀναμνησθέντες ἐκείνων,
βέλτιον βουλεύσωνται περὶ τῶν ὕστερον, ἢ
διαβάλλοντες, ἢ ἐπαινοῦντες· ἀλλὰ τότε οὐ
τὸ τοῦ Συμβούλου ποιοῦσιν ἔργον. Τρία εἴδη
κοινά ἐστι πᾶσι τοῖς λόγοις, αὔξησις, πα-
ράδειγμα, ἐνθύμημα. ἡ δὲ γνώμη μέρος
ἐνθυμήματός ἐστι· ἡ γνώμη ἐστὶ ἀπόφα-
σις μὲν, οὐ μέντοι περὶ τῶν καθέκαστον, ἀλ-
λὰ καθόλου, οὔτε περὶ πάντων καθόλου, ἀλ-
λὰ περὶ ὅσων αἱ πράξεις εἰσὶ, καὶ αἱρετὰ, ἢ
φευκτά ἐστι πρὸς τὸ πράττειν. εἰ δή ἐστι
γνώμη τὸ εἰρημένον, ἀνάγκη τέτταρα εἶναι
γνώμης εἴδη. ἢ γὰρ ἄνευ ἐπιλόγου ἔσται, διὰ
τὸ προεγνωσμένον, οἷον ἀνδρὶ δ' ὑγιαίνειν μὲν
ἄριστόν ἐστιν, ὥς γ' ἡμῖν δοκεῖ· ἢ ἄνευ ἐπι-
λόγου, ἅμα λεγομένη, δήλη, οἷον οὐδεὶς ἐ-
ραστὴς, ὅστις οὐκ ἀεὶ φιλεῖ· ἢ μετ' ἐπιλόγου,
ἐνθυμήματος μέρος, οἷον οὐκ ἔστιν ἀν-
δρῶν, ὅστις ἔστ' ἐλεύθερος, ἢ χρημάτων γὰρ
δοῦλός ἐστιν, ἢ τύχης· ἢ ἐνθυμηματικὴ
μὲν, οὐκ ἐνθυμήματος δὲ μέρος, οἷον ἀθά-
νατον ὀργὴν μὴ φύλαττε θνητὸς ὤν. ὅλως
δὲ τῶν κοινῶν εἰδῶν ἅπασι τοῖς λόγοις τὰ

παρα-

παραδείγματα ἐπιτηδειότερα ἐστὶ τοῖς συμβουλευτικοῖς· ἐκ γὰρ τῶν προγεγονότων τὰ μέλλοντα καταμαντευόμενοι κρίνομεν. καὶ παραδείγματα δημηγορικώτατα· ἡ μὲν γὰρ δημηγορία περὶ τὸ μέλλον, ὥστε ἐκ τῶν γενομένων ἀνάγκη παραδείγματα λέγειν. παραδειγμάτων δ' εἴδη δύο ἐστίν. ἓν μὲν γὰρ ἐστι παραδείγματος εἶδος τὸ λέγειν πράγματα προγεγενημένα· ἓν δὲ τὸ αὐτὸ ποιεῖν. τούτου δ' ἓν μὲν παραβολή. ἓν δὲ λόγοι, οἷον οἱ Αἰσώπειοι, καὶ Λιβυκοί· τὰ δὲ πρὸς τὸν ἀντίδικον οὐχ ἕτερόν τι εἶδος· ἀλλὰ τὴν πίστιν ἐστι. τὰ μὲν λῦσαι ἐνστάσει· τὰ δὲ συλλογισμῷ. περὶ μὲν οὖν πίστεων ταῦτα. ὁ δ' ἐπίλογος σύγκειται ἐκ τεττάρων, ἔκ τε τοῦ πρὸς ἑαυτὸν κατασκευάζειν εὖ τὸν ἀκροατὴν, καὶ τὸν ἐναντίον φαῦλον· καὶ ἐκ τοῦ αὐξῆσαι καὶ ταπεινῶσαι· καὶ ἐκ τοῦ εἰς τὰ πάθη τὸν ἀκροατὴν καταστῆσαι· καὶ ἐξ ἀναμνήσεως.

Περὶ τοῦ γένους ἐπιδεικτικοῦ.

Ἔχει κοινὸν εἶδος ὁ ἔπαινος, καὶ αἱ συμβουλαί. δεῖ δὲ τὰ ὑπάρχοντα ἔχειν· λέγω δὲ, οἷον πῶς ἂν δυναίμεθα ἐπαινεῖν Ἀθηναίους, εἰ μὴ ἔχοιμεν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν, ἢ τὴν ἐν Μαραθῶνι μάχην, ἢ τὰ ὑπὲρ Ἡρακλειδῶν πραχθέντα,

ἢ τῶν ἄλλων τινῶν τοιούτων; ἐκ γὰρ τῶν
ὑπαρχόντων, ἢ δοκούντων ὑπάρχειν κα-
λῶν ἐπαινοῦσι πάντες· ὁμοίως δὲ ψέγουσιν
ἐκ τῶν ἐναντίων, σκοποῦντές τι ὑπάρχει
τοιοῦτον αὐτοῖς, ἢ δοκεῖ, οἷον, ὅτι τοὺς Ἕλ-
ληνας κατεδουλώσαντο, καὶ τοὺς πρὸς τὸν
βάρβαρον συμμαχεσαμένους. καὶ ἀριστεύ-
σαντας ἠνδραποδίσαντο, Αἰγινήτας, καὶ
Ποτιδαιάτας, καὶ ὅσα ἄλλα τοιαῦτα. καὶ εἴ τι
ἄλλο ἁμάρτημα τοιοῦτον ὑπάρχει αὐτοῖς.
δεῖ δὲ ζητεῖν μᾶλλον ἴδια, ἢ κοινά. λέγομεν
δὲ κοινὰ, τὸ ἐπαινεῖν τὸν Ἀχιλλέα, ὅτι ἄνθρω-
πος· καὶ ὅτι τῶν ἡμιθέων· καὶ ὅτι εἰς τὸ Ἴλιον
ἐστρατεύσατο ταῦτα γὰρ καὶ ἄλλοις. ὑπάρχει
πολλοῖς ὥστε τὸ οὐδὲν μᾶλλον ὁ τοιοῦτος Ἀ-
χιλλέα ἐπαινεῖ, ἢ Διομήδην ἴδια δὲ, ἃ μη-
δενὶ ἄλλῳ συμβέβηκεν, ἢ τῷ Ἀχιλλεῖ, οἷον
τὸ ἀποκτεῖναι τὸν Ἕκτορα τὸν ἄριστον τῶν Τρώ-
ων, καὶ τὸν Κύκνον, ὃς ἐκώλυεν ἅπαντας
ἀποβαίνειν, ἄτρωτος ὤν· καὶ ὅτι νεώτα-
τος· καὶ οὐκ ἔνορκος ὢν ἐστράτευσε· καὶ
ὅσα ἄλλα τοιαῦτα. ἐπιδεικτικοῦ λόγου
ὁ ἀκροατὴς ἐστὶ θεωρός. ἔστι δ' ὁ κρίνων
περὶ τῆς δυνάμεως ὁ θεωρός. ἔστι τὸ μὲν ἔ-
παινος· τὸ δὲ ψόγος. χρόνος δὲ τοῦ ἐπι-
δεικτικοῦ κυριώτατος μὲν ὁ παρών· κατὰ

γὰρ

γὰρ τὰ ὑπάρχοντα ἐπαινοῦσιν, ἢ ψέγουσι πάντες. προσχρῶνται δὲ πολλάκις καὶ τὰ γενόμενα ἀναμιμνήσκοντες, καὶ τὰ μέλλοντα προεικάζοντες. τέλος δὲ τοῖς ἐπαινοῦσι, καὶ ψέγουσι τὸ καλὸν, καὶ τὸ αἰσχρόν. τὰ δ᾽ ἄλλα οὗτοι πρὸς ταῦτα ἐπαναφέρουσι. οἱ μὲν οὖν ἐπαινοῦντες, καὶ οἱ ψέγοντες οὐ σκοποῦσι, εἰ συμφέροντα ἔπραξεν, ἢ βλαβερά. ἀλλὰ καὶ ἐν ἐπαίνῳ πολλάκις τιθέασιν, ὅτι ὀλιγωρήσας τοῦ αὑτῷ λυσιτελοῦντος, ἔπραξε τὸ καλόν· οἷον Ἀχιλλέα ἐπαινοῦσιν, ὅτι ἐβοήθησε τῷ ἑταίρῳ Πατρόκλῳ, εἰδὼς, ὅτι δεῖ αὐτὸν ἀποθανεῖν, ἐξὸν ζῆν. τούτῳ δὲ ὁ μὲν τοιοῦτος θάνατος κάλλιον· τὸ δὲ ζῆν συμφέρον. ἐν δὲ τοῖς ἐπιδεικτικοῖς τὸ πολὺ, ὅτι καλὰ, ἢ ὠφέλιμα ἢ αὔξησις ἔστι. τὰ γὰρ πράγματα δεῖ πιστεύεσθαι. ὀλιγάκις γὰρ καὶ τούτων ἀπόδειξις φέρουσιν, ἐὰν ἄπιστα ᾖ, ἢ ἐὰν ἄλλος αἰτίαν ἔχῃ. συμβαίνει καὶ χωρὶς σπουδῆς, καὶ μετὰ σπουδῆς, ἐπαινεῖν πολλάκις οὐ μόνον ἄνθρωπον, ἢ θεὸν, ἀλλὰ καὶ ἄψυχα, καὶ τῶν ἄλλων ζώων τὸ τυχόν. περὶ δὲ ἀρετῆς, καὶ κακίας, καὶ καλοῦ, καὶ αἰσχροῦ λέγωμεν. οὗτοι γὰρ σκοποὶ τῷ ἐπαινοῦντι, καὶ ψέγοντι. καλὸν μὲν οὖν ἐστιν, ὃ ἂν δι᾽ αὑτὸ αἱρετὸν ὂν, ἐπαινετὸν ᾖ· ἢ ὃ

ἂν

ἂν ἀγαθὸν ὂν, ἡδὺ ᾖ, ὅτι ἀγαθόν. εἰ δὲ τοῦτό ἐστι τὸ καλόν, ἀνάγκη καλὰ εἶναι τεία, τήν τε ἀρετὴν, ἀγαθὸν γὰρ ὂν, ἐπαινετὸν ἐστι. τά τε ποιητικὰ τῆς ἀρετῆς, πρὸς ἀρετὴν γάρ. καὶ τὰ ἀπ᾽ ἀρετῆς γινόμενα. ἀρετὴ δὲ ἐστι μὲν δύναμις, ὡς δοκεῖ, ποριστικὴ ἀγαθῶν, καὶ φυλακτική· καὶ δύναμις εὐεργετικὴ πολλῶν, καὶ μεγάλων, καὶ πάντων περὶ πάντα. ἀνάγκη δὲ μεγίστας εἶναι ἀρετὰς τὰς τοῖς ἄλλοις χρησιμωτάτας. διὰ τοῦτο τοὺς δικαίους, καὶ ἀνδρείους μάλιστα τιμῶσιν, εἶτα ἐλευθερίους. μέρη δὲ ἀρετῆς, δικαιοσύνη, ἀνδρεία, σωφροσύνη, μεγαλοπρέπεια, μεγαλοψυχία, ἐλευθεριότης, πρᾳότης, φρόνησις, σοφία. Τἀναντία ἀδικία, δειλία, ἀκολασία, μικροπρέπεια, μικροψυχία, ἀνελευθερία, ὀργιλότης, ἀφροσύνη, ἀσοφία. ληπτέον δὲ καὶ τὰ συνεγγὺς τοῖς ὑπάρχουσιν, ὡς καὶ ταῦτα ὄντα καὶ πρὸς ἔπαινον, καὶ πρὸς ψόγον. οἷον τὸν εὐλαβῆ καὶ εὐψυχρον, δειλόν, καὶ ἐπίβουλον· καὶ τὸν ἠλίθιον χρηστόν· καὶ τὸν ἀνάλγητον πρᾶον· καὶ ἕκαστον δὲ ἐκ τῶν παρακολουθούντων ἀεὶ κατὰ τὸ βέλτιστον· οἷον τὸν ὀργίλον, καὶ τὸν μανικὸν ἁπλοῦν· καὶ τὸν αὐθάδη μεγαλοπρεπῆ, καὶ σεμνόν· καὶ τοὺς ἐν ταῖς

ὑπερ-

ὑπερβολαῖς, ὡς ἐν ταῖς ἀρεταῖς ὄντας, οἷον τὸν θρασὺν ἀνδρεῖον· καὶ τὸν ἄσωτον ἐλευθέριον. δόξει τε γὰρ τοῖς πολλοῖς· καὶ ἅμα παραλογιστικὸν ἐκ τῆς αἰτίας. εἰ γὰρ, οὗ μὴ ἀνάγκη κινδυνευτικὸς, πολλῷ μᾶλλον ἂν δόξειεν, ὅπου καλόν. καὶ εἰ προετικὸς τοῖς τυχοῦσι, καὶ τοῖς φίλοις· ὑπερβολὴ γὰρ ἀρετῆς, τὸ πάντας εὖ ποιεῖν. τὰ ποιητικὰ τῆς ἀρετῆς ἐστι καλὰ, οἷον εὐγένεια, καὶ παιδεία· εἰκὸς γὰρ ἐξ ἀγαθῶν ἀγαθοὺς, καὶ τὸν οὕτω τραφέντα, τοιοῦτον εἶναι. ἔτι τὰ ἀπ' ἀρετῆς γινόμενα ἐστι καλά. τοιαῦτα δὲ τά τε σημεῖα τῆς ἀρετῆς, καὶ τὰ ἔργα, καὶ τὰ πάθη, πλὴν δικαιοσύνης· ἐν μόνῃ γὰρ ταύτῃ τὴν ἀρετὴν οὐκ ἀεὶ τὸ δικαίως καλόν· ἀλλ' ἐπὶ τοῦ ζημιοῦσθαι αἴσχιον τὸ δικαίως μᾶλλον, ἢ τὸ ἀδίκως. ἀνάγκη καὶ ὅσα ἀνδρίας ἔργα, ἢ σημεῖα ἀνδρίας, ἢ ἀνδρείως πέπρακται, καλὰ εἶναι ταῦτα· καὶ τὰ δίκαια, καὶ τὰ δικαίως ἔργα· καὶ κατὰ τὰς ἄλλας καὶ ἀρετὰς ὡσαύτως. καὶ ὅσα κατὰ τὸ προσῆκον, οἷον εἰ ἄξια τῶν προγόνων, καὶ τῶν προϋπηργμένων· εὐδαιμονικὸν γὰρ, καὶ καλὸν τὸ προσεπικτᾶσθαι τιμήν. ἢ εἰ παρὰ τὸ προσῆκον ἐπὶ τὸ βέλτιον, καὶ τὸ

κάλ-

κάλλιον, οἷον εἰ ὁ εὐτυχῶν μὲν μέτριος· ὁ δὲ ἀτυχῶν μεγαλόψυχος· ἢ μείζων γινόμενος βελτίων, καὶ καταλλακτικώτερος· τοιοῦτον δὲ τὸ τοῦ Ἰφικράτους, ἐξ οἵων εἰς οἷα. καὶ τὸ τοῦ Ὀλυμπιονίκου, πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν ἄσυλλαν, ἰχθῦς ἐξ Ἄργους εἰς Τεγέαν ἔφερον. καὶ τὸ τοῦ Σιμωνίδου, ἣ πατρός τε, καὶ ἀνδρὸς ἀδελφῶν τ' οὖσα τυράννων. ἐπεὶ δὲ ἐκ τῶν πράξεων ὁ ἔπαινος, ἴδιον δὲ τοῦ σπουδαίου τὸ κατὰ προαίρεσιν, πειρατέον δεικνύναι πράττοντα κατὰ προαίρεσιν, χρήσιμον δὲ τὸ πολλάκις φαίνεσθαι πεπραχότα. διὸ καὶ τὰ συμπτώματα, καὶ τὰ ἀπὸ τύχης, ὡς ἐν προαιρέσει ληπτέον. ἂν γὰρ πολλὰ, καὶ ὅμοια προφέρηται, σημεῖον ἀρετῆς εἶναι δόξει, καὶ προαιρέσεως. ἔστι δ' ἔπαινος λόγος ἐμφανίζων μέγεθος ἀρετῆς. τὸ δ' ἐγκώμιον τῶν ἔργων ἐστί, καὶ τὰ ἔργα σημεῖα τῆς ἕξεως εἰσίν. τὰ δὲ κύκλῳ εἰς πίστιν, οἷον εὐγένεια, καὶ παιδεία. Μακαρισμὸς δὲ, καὶ εὐδαιμονισμὸς αὐτοῖς μὲν ταὐτά. τούτοις δ' οὐ ταὐτά· ἀλλ' ὥσπερ ἡ εὐδαιμονία τὴν ἀρετήν, καὶ ὁ εὐδαιμονισμὸς περιέχει ταῦτα. ἔστι δὲ τῶν κοινῶν τὸ μὲν αὔξειν οἰκειότατον τοῖς ἐπιδεικτικοῖς. τῶν δὲ τόπων οἱ μὲν εἰσι, τῶν ἐνθυ-

μημά-

μημάτων, οἱ δὲ τῶν φαινομένων ἐνθυμημάτων, ὥσπερ εἴρηται. περὶ δὲ ἀρετῆς, καὶ κακίας, καὶ καλοῦ καὶ αἰσχροῦ, λέγοντες ποιοί τινες ὑποληφθησόμεθα κατὰ τὸ ἦθος· ἦν γὰρ αὕτη δευτέρα πίστις· ἐκ τῶν αὐτῶν γὰρ ἡμᾶς τε, καὶ ἄλλον ἀξιόπιστον δυνησόμεθα ποιεῖν πρὸς ἀρετήν· τῆς δὲ φρονήσεως ἐστὶ τὸ σκοπεῖν, παρ' οἷς ὁ ἔπαινος· ὥσπερ γὰρ ὁ Σωκράτης ἔλεγεν, οὐ χαλεπὸν, Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν. δεῖ δὲ τὸ παρ' ἑκάστοις τίμιον λέγειν, ὡς ὑπάρχον, οἷον ἐν Σκύθαις, ἢ Λάκωσιν, ἢ φιλοσόφοις καὶ ὅλως δὲ τὸ τίμιον ἄγειν εἰς τὸ καλόν, ἐπείπερ δοκεῖ γειτνιᾶν· ἔστι καὶ τῆς εὐνοίας ποιεῖν, οἴεσθαι συνεπαινεῖσθαι τὸν ἀκροατήν, ἢ αὐτὸν, ἢ γένος, ἢ ἐπιτηδεύματ' αὐτοῦ, ἢ ἄλλως γέ πως· ὃ γὰρ λέγει Σωκράτης ἐν τῷ ἐπιταφίῳ, ἀληθές, ὅτι οὐ χαλεπὸν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν, ἀλλὰ ἐν Λακεδαιμονίοις. πάθη τούτου γένους ἴδια ἐστὶ δύο, ἡδονὴ, καὶ χάρις. ὑποκείσθω δὲ ἡμῖν εἶναι τὴν ἡδονὴν κίνησιν κατὰ ψυχῆς, καὶ κατάστασιν ἀθρόαν, καὶ αἰσθητὴν εἰς τὴν ὑπάρχουσαν φύσιν. ἔστω χάρις, καθ' ἣν ὁ ἔχων λέγεται χάριν ὑπουργεῖν δεομένῳ, μὴ ἀντί τινος, μὴ δ' ἵνα τι αὐτῷ τῷ ὑπουργοῦντι, ἀλλ'

ἵνα ἐκεῖνο ᾖ. μεγάλη δ' ἂν ἡ σφόδρα δεομένων, ἢ μεγάλων, καὶ χαλεπῶν, ἢ ἐν καιροῖς τισίν, ἢ μόνος, ἢ πρῶτος, ἢ μάλιστα. ἡ μὲν οὖν ἐπιδεικτικὴ λέξις γραφικωτάτη· τὸ γὰρ ἔργον αὐτῆς ἀνάγνωσις. ἔστι δὲ λέξις γραφικὴ ἡ ἀκριβεστάτη. ἔστι δὲ τοῦ λόγου δύο μέρη ἀναγκαῖα, πρόθεσις, καὶ πίστις. ἐπιδεικτικοῦ δὲ λόγου πῶς ἐνδέχεται διήγησιν εἶναι, οἷον λέγουσιν; ἢ τὸ πρὸς τὸν ἀντίδικον; ἢ ἐπίλογον; προοίμιον δὲ γίνεται τί. τὸ μὲν οὖν προοίμιόν ἐστιν ἀρχὴ λόγου, ὅπερ ἐν ποιήσει πρόλογος, καὶ ἐν αὐλήσει προαύλιον. πάντα γὰρ ἀρχαὶ ταῦτ' εἰσί. καὶ οἷον ὁδοποίησις τῷ ἐπιόντι. τὸ μὲν οὖν προαύλιον ὅμοιον τῷ τῶν ἐπιδεικτικῶν προοιμίῳ. ὅπερ πάντες ποιοῦσι παράδειγμα τὸ τῆς Ἰσοκράτους Ἑλένης προοίμιον. τὰ μὲν οὖν τῶν ἐπιδεικτικῶν λεγόμενα προοίμια ἐκ τούτων, ἐξ ἐπαίνου· ἐκ ψόγου· ἐκ προτροπῆς· ἐξ ἀποτροπῆς· ἐκ τῶν πρὸς τὸν ἀκροατήν. δεύτερον μέρος ἐστὶν ἡ πρόθεσις. διήγησις δ' ἐν μὲν τοῖς ἐπιδεικτικοῖς ἐστὶν οὐκ ἐφεξῆς, ἀλλὰ κατὰ μέρος. δεῖ δὲ τοὺς μὲν γνωρίμους ἀναμιμνήσκειν. διὸ οἱ πολλοὶ οὐδὲν δέονται διηγήσεως, οἷον εἰ θέλεις Ἀχιλλέα

ἐπαι-

ἐπαινεῖν· ἴσασι γὰρ πάντες τὰς πράξεις.
ἀλλὰ χρῆσθαι αὐταῖς δεῖ. ἐὰν δὲ κρίνωμεν,
δεῖ· οὐ γὰρ πολλοὶ ἴσασι. ἐν δὲ τῇ πίστει ἐπι-
δεικτικῇ χρηστέον καὶ τῶν αὐξητικῶν πολλοῖς,
οἷον εἰ μόνος· ἢ πρῶτος· ἢ μετ' ὀλίγων· ἢ
ὃ μάλιστα πεποίηκεν, ἅπαντα γὰρ ταῦτα
καλά. καὶ τὸ ἐκ τῶν χρόνων, καὶ τῶν και-
ρῶν, ταῦτα δὲ παρὰ τὸ προσῆκον. καὶ εἰ
πολλάκις τὸ αὐτὸ κατώρθωκε. μέγα γὰρ,
καὶ οὐκ ἀπὸ τύχης, ἀλλὰ δι' αὐτὸν ἂν δόξειε·
καὶ εἰ τὰ προτρέποντα, καὶ τιμῶντα, διὰ
τοῦτον εὕρηται, καὶ κατεσκευάσθη, καὶ εἰς ὃν
πρῶτον ἐγκώμιον ἐποιήθη, οἷον εἰς Ἱππό-
λοχον, καὶ Ἁρμόδιον, καὶ Ἀριστογείτονα τὸ
ἐν ἀγορᾷ σταθῆναι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν
ἐναντίων· κἂν μὴ καθ' αὐτὸν εὐπορῇς,
πρὸς ἄλλους ἀντιπαραβάλλειν, ὅπερ Ἰσο-
κράτης ἐποίει διὰ τὴν ἀσυνήθειαν τοῦ δικο-
λογεῖν. δεῖ δὲ πρὸς ἐνδόξους συγκρίνειν.
αὐξητικὸν γὰρ, καὶ καλὸν, εἰ σπουδαίων βελτίων.
πίπτει δὲ εὐλόγως ἡ αὔξησις εἰς τοὺς ἐπαίνους·
ἐν ὑπεροχῇ γάρ ἐστιν· ἡ δ' ὑπεροχὴ τῶν
καλῶν. διὸ κἂν μὴ πρὸς τοὺς ἐνδόξους,
ἀλλὰ πρὸς τοὺς ἄλλους δεῖ παραβάλλειν.
ἐπείπερ ἡ ὑπεροχὴ δοκεῖ μηνύειν ἀρετήν.
ὅλως δὲ τῶν κοινῶν εἰδῶν ἅπασι τοῖς λό-

γοις ἡ αὔξησις ἐπιτηδειοτέρα τοῖς ἐπιδεικτικοῖς. τὰς γὰρ πράξεις ὁμολογουμένας λαμβάνουσιν, ὥστε λοιπὸν μέγεθος περιθεῖναι, καὶ κάλλος. ἐν δὲ τοῖς ἐπιδεικτικοῖς δεῖ τὸν λόγον ἐπεισοδιοῦν ἐπαίνοις, οἷον Ἰσοκράτης ποιεῖ. ἀεὶ γάρ τινα εἰσάγει. καὶ ὃ ἔλεγε Γοργίας, ὅτι οὐχ ὑπολείπει αὐτὸν ὁ λόγος, τοῦτό ἐστι. εἰ γὰρ Ἀχιλλέα λέγει, Πηλέα ἐπαινεῖ, εἶτα Αἰακὸν εἶτα τὸν θεόν. ὁμοίως δὲ καὶ ἀνδρείαν. ἢ τὰ, καὶ τὰ ποιεῖ· ὁ τοιόνδε ἐστιν. εἴρηται δὲ ἐπίλογον μὴ εἶναι τῶν ἀποδεικτικῶν. ὃν ἐνίοτε συμπαραλαμβάνουσι πρὸς τὴν προτροπήν, ἢ παραμυθίαν, οἷον ἐν τοῖς ἐπιταφίοις.

Περὶ τοῦ γένους δικανικοῦ.

ΠΕρὶ οὗ δεῖ λέγειν, ἀναγκαῖον κατὰ τούτου ἔχειν τὰ ὑπάρχοντα, ἢ πάντα, ἢ ἔνια. καὶ γὰρ οἱ κατηγοροῦντες, καὶ οἱ ἀπολογούμενοι, ἐκ τῶν ὑπαρχόντων σκοπούμενοι κατηγοροῦσι, καὶ ἀπολογοῦνται. δικανικοῦ λόγου ὁ ἀκροατὴς ἐστὶ κριτὴς τῶν γεγενημένων. ἔστι δὲ ὁ περὶ τῶν γεγενημένων κρίνων, οἷον ὁ δικαστής. δίκης δὲ τὸ μὲν κατηγορία· τὸ δὲ ἀπολογία. τούτοιν γὰρ ὁποτερονοῦν ποιεῖν

ἀνάγκη

ἀνάγκη τοὺς ἀμφισβητοῦντας. χρόνος δὲ
τῶν δικαζομένων ὁ γενόμενος. περὶ γὰρ τῶν
πεπραγμένων ἀεὶ ὁ μὲν κατηγορεῖ, ὁ δὲ ἀπο-
λογεῖται. τέλος δὲ τοῖς δικαζομένοις
τὸ δίκαιον, καὶ τὸ ἄδικον. τὰ δὲ ἄλλα συμ-
παραλαμβάνουσι πρὸς ταῦτα. σημεῖον δὲ,
ὅτι τὸ εἰρημένον τέλος, περὶ μὲν γὰρ τῶν ἄλ-
λων ἐνίοτε οὐκ ἂν ἀμφισβητήσαι ὁ δικα-
ζόμενος, οἷον ὡς οὐ γέγονεν, ἢ ὡς οὐκ ἔβλα-
ψεν· ὅτι δὲ ἀδικεῖ, οὐδέποτε ἂν ὁμολογή-
σαι· οὐδὲ γὰρ ἂν ἔδει δίκης. περὶ τεττάρων
ἡ ἀμφισβήτησις. ὅτι οὐ γέγονεν· ὅτι οὐκ ἔ-
βλαψε· ὅτι οὐ τοσοῦτον· ὅτι δικαίως. δεῖ
δὴ λαβεῖν τρία, ἓν μὲν, τίνων, καὶ πόσων ἕνε-
κα ἀδικοῦσι· δεύτερον δὲ, πῶς αὐτοὶ
διακείμενοι· τρίτον δὲ, τοὺς ποίους, καὶ πῶς
ἔχοντας. διορισάμενοι οὖν τὸ ἀδικεῖν, λέ-
γωμεν ἑξῆς. ἔστω δὴ τὸ ἀδικεῖν, τὸ βλάπτειν
ἑκόντα παρὰ τὸν νόμον. λοιπὸν δὲ εἰπεῖν,
τίνος ἕνεκα, καὶ πῶς ἔχουσιν ἀδικοῦντες, καὶ τί-
νας. πάντες δὲ πράττουσι πάντα, τὰ μὲν οὐ δι᾽
αὑτοὺς, τὰ δὲ δι᾽ αὑτούς. τῶν μὲν οὖν μὴ δι᾽ αὑτοὺς
τὰ μὲν διὰ τύχην πράττουσι τὰ δὲ ἐξ ἀνάγ-
κης. τῶν δὲ ἐξ ἀνάγκης τὰ μὲν βίᾳ· τὰ δὲ
φύσει. ὥστε πάντα ὅσα μὴ δι᾽ αὑτοὺς πράτ-
τουσι, τὰ μὲν ἀπὸ τύχης· τὰ δὲ φύσει· τὰ δὲ
βίᾳ.

βίᾳ. ὅσα δὲ δι' αὑτούς, ὧν αὐτοὶ αἴτιοι, τὰ μὲν δι' ἔθος. τὰ δὲ δι' ὄρεξιν, καὶ τὰ μὲν διὰ λογιστικὴν ὄρεξιν· τὰ δὲ δι' ἀλόγιστον. ἔστι δὲ ἡ βούλησις μετὰ λόγου ὄρεξις ἀγαθοῦ· οὐδεὶς γὰρ βούλεται, ἀλλ' ἢ ὅ,τ' ἂν οἰηθείη εἶναι ἀγαθόν. ἄλογοι δ' ὀρέξεις ὀργή, καὶ ἐπιθυμία. ὥστ' ἀνάγκη πάντα, ὅσα πράττουσι, δι' αἰτίας ἑπτά, διὰ τύχην, διὰ βίαν, διὰ φύσιν, δι' ἔθος, διὰ λογισμόν, διὰ θυμόν, δι' ἐπιθυμίαν. ἀδικοῦσι δὲ οἱ βουλόμενοι ἑκόντες παρὰ τὸν νόμον. ἀδικοῦνται δὲ οἱ βλαπτόμενοι, καὶ ἀκουσίως βλαπτόμενοι παρὰ τὸν νόμον. ἐπεὶ δὲ ὁμολογοῦντες πολλάκις πεπραχέναι, ἢ τὸ ἐπίγραμμα οὐχ ὁμολογοῦσιν, ἢ περὶ ὃ τὸ ἐπίγραμμα, οἷον λαβεῖν μέν, ἀλλ' οὐ κλέψαι· καὶ πατάξαι πρότερον, ἀλλ' οὐχ ὑβρίσαι· καὶ συγγενέσθαι, ἀλλ' οὐ μοιχεῦσαι· ἢ κλέψαι, ἀλλ' οὐχ ἱεροσυλῆσαι, οὐ γὰρ θεοῦ τι· ἢ ἐπεργάσασθαι μέν, ἀλλ' οὐ δημοσίᾳ· ἢ διειλέχθαι μὲν τοῖς πολεμίοις, ἀλλ' οὐ προδοῦναι· διὰ ταῦτα δέοι ἂν καὶ περὶ τούτων διωρίσθαι, τί κλοπή, τί ὕβρις, τί μοιχεία, ὅπως ἐάν τε ὑπάρχειν, ἐάν τε μὴ ὑπάρχειν βουλώμεθα δεικνύναι, ἔχωμεν ἐμφανίζειν τὸ δίκαιον. ἔστι δὲ πάντα τὰ τοιαῦτα περὶ τοῦ

ἄδικον

ἀδίκημα εἶναι, καὶ φαῦλον, ἢ μὴ ἀδίκημα, περὶ
τούτου ἡ ἀμφισβήτησις. ἐν γὰρ τῇ προαιρέσει
ἐστὶν ἡ μοχθηρία, καὶ τὸ ἀδικεῖν. τὰ δὲ
τοιαῦτα τῶν ὀνομάτων προσσημαίνει τὴν
προαίρεσιν, οἷον ὕβρις, καὶ κλοπή· οὐ γὰρ
εἰ ἐπάταξε, πάντως ὕβρισεν, ἀλλ᾽ εἰ ἕνεκά
του, οἷον τοῦ ἀτιμάσαι ἐκεῖνον, ἢ αὐτὸς ἡσ-
θῆναι. οὐδὲ πάντως, εἰ λάθρα ἔλαβεν,
ἔκλεψεν, ἀλλ᾽ εἰ ἐπὶ βλάβῃ ἔκλεψε, καὶ
σφετερισμῷ ἑαυτοῦ. ὁμοίως δὲ, καὶ περὶ τῶν
ἄλλων ἔχει, ὥσπερ καὶ περὶ τούτων. ὥρισται
δὴ τὰ δίκαια, καὶ τὰ ἄδικα πρός τε νόμους
δύο, καὶ πρὸς οὕς ἐστι διχῶς. λέγω δὲ νόμον
τὸν μὲν ἴδιον· τὸν δὲ κοινόν. ἴδιον μὲν τὸν
ἑκάστοις ὡρισμένον πρὸς ἑαυτούς, καὶ τοῦτον
τὸν μὲν ἄγραφον· τὸν δὲ γεγραμμένον. κοι-
νὸν δὲ τὸν κατὰ φύσιν. πρὸς οὓς δὲ διώρισται,
διχῶς διώρισται. ἢ γὰρ πρὸς τὸ κοινόν· ἢ
πρὸς ἕνα τῶν κοινωνούντων, ἃ δεῖ πράττειν,
καὶ μὴ πράττειν. διὸ καὶ τὰ ἀδικήματα,
καὶ τὰ δικαιώματα διχῶς ἔστιν ἀδικεῖν, καὶ
δικαιοπραγεῖν· ἢ γὰρ πρὸς ἕνα ὡρισμέ-
νον, ἢ πρὸς τὸ κοινόν· ὁ γὰρ μοιχεύων, καὶ
τύπτων ἀδικεῖ τινα τῶν ὡρισμένων. ὁ δὲ
μὴ στρατευόμενος, τὸ κοινόν. ὥστε αὐτίκα
πάντα τὰ ἐγκλήματα ἢ πρὸς τὸ κοι-

νόν,

νόν, ἢ πρὸς τὸ ἴδιον εἶναι. ἢ καὶ ἀγνοοῦντος, ἢ ἄκοντος· ἢ ἑκόντος, καὶ εἰδότος. καὶ τούτων τὰ μὲν προῃρημένου· τὰ δὲ διὰ πάθος. ἐπεὶ δὲ τῶν δικαίων, καὶ τῶν ἀδίκων ἦν δύο εἴδη. τὰ μὲν γὰρ γεγραμμένα, τὰ δὲ ἄγραφα, τῶν ἀγράφων δύο ἐστὶν εἴδη. ταῦτα δ' ἐστὶ τὰ μὲν καθ' ὑπερβολὴν ἀρετῆς, καὶ κακίας, ἐφ' οἷς ὀνείδη, καὶ ἔπαινοι, ἀτιμίαι, καὶ τιμαὶ, καὶ δωρεαί, οἷον τὸ χάριν ἔχειν τῷ ποιήσαντι εὖ, καὶ ἀντευποιεῖν τὸν εὖ ποιήσαντα, καὶ βοηθητικὸν εἶναι τοῖς φίλοις, καὶ ὅσα ἄλλα τοιαῦτα· τὰ δὲ τοῦ ἰδίου νόμου, καὶ γεγραμμένου ἔλλειμμα· τὸ γὰρ ἐπιεικὲς δοκεῖ δίκαιον εἶναι. ἔστι δὲ ἐπιεικὲς τὸ παρὰ τὸν γεγραμμένον νόμον δίκαιον. Συμβαίνει δὲ τοῦτο τὰ μὲν ἀκόντων. τὰ δὲ ἑκόντων τῶν νομοθετῶν. ἀκόντων μὲν, ὅταν λάθῃ. ἑκόντων δὲ, ὅταν μὴ δύνωνται διορίσαι δι' ἀπειρίαν. ἀδικήματα δὲ μείζονα ἐστὶ, ὅσα ἂν ἀπὸ μείζονος ᾖ ἀδικίας. διὸ καὶ τὰ ἐλάχιστα μέγιστα· οἷον Μηλανώπου Καλλίστρατος κατηγόρει, ὅτι παρελογίσατο τρία ἡμιωβέλια ἱερὰ τοὺς ναοποιούς. ἐπὶ δικαιοσύνης δὲ τοὐναντίον. ἔστι δὲ ταῦτα, ἐκ τοῦ ὑπερέχειν τῇ δυνάμει. ὁ γὰρ τρία ἱερὰ ἡμιωβέλια κλέψας, κἂν ὁτιοῦν ἀδικήσειεν.

ὅτε

ὅτι μὲν δὴ οὕτω τὸ μεῖζον. ὅτι δὲ ἐκ τοῦ βλά-
βους κρίνεται· αἱ δὲ πίστεις ἄτεχνοί εἰσιν ἰ-
δίαι τῶν δικανικῶν. ἔστι δὲ τῶν κοινῶν τὸ
γεγονὸς οἰκειότατον τοῖς δικανικοῖς· περὶ
τούτων γὰρ ἡ κρίσις. οἱ δὲ τόποι εἰσὶ,
οἱ μὲν τῶν ἐνθυμημάτων· οἱ δὲ τῶν
φαινομένων ἐνθυμημάτων, ὄντων δὲ
οὐκ ἐνθυμημάτων, ὥσπερ εἴρηται. πολὺ
δὲ διαφέρει πρὸς πίστιν, καὶ ἐν ταῖς δίκαις, τὸ,
τε ποιόν τινα φαίνεσθαι τὸν λέγοντα, καὶ τὸ
πρὸς αὐτοὺς ὑπολαμβάνειν ἔχειν πῶς αὐ-
τόν. πρὸς δὲ τούτοις ἐὰν καὶ αὐτοὶ διακεί-
μενοί πως τυγχάνωσι. καὶ τὸ διακεῖσθαί
πως τὸν ἀκροατὴν, χρησιμώτερον εἰς τὰς
δίκας. οὐ γὰρ ταὐτὰ φαίνεται φιλοῦ-
σιν, καὶ μισοῦσιν· οὐδ᾽ ὀργιζομένοις, καὶ
πράως ἔχουσιν. ἀλλ᾽ ἢ τὸ παράπαν ἕτερα·
ἢ κατὰ τὸ μέγεθος ἕτερα. τῷ μὲν γὰρ φι-
λοῦντι, περὶ οὗ ποιεῖται τὴν κρίσιν, ἢ οὐκ
ἀδικεῖν, ἢ μικρὰ δοκεῖ ἀδικεῖν. τῷ δὲ μι-
σοῦντι τοὐναντίον· ἔστω δὲ ἡ ὀργὴ ὄρεξις μετὰ
λύπης τιμωρίας φαινομένης, διὰ φαινο-
μένην ὀλιγωρίαν τῶν εἰς αὐτὸν ἢ εἰς αὐτοῦ
τινὰ μὴ προσηκόντως, ἡ δὲ πραΰνσις,
κατάστασις, καὶ ἠρέμησις ὀργῆς. τὸ δὲ φιλεῖν
τὸ βούλεσθαί τινι, ἃ οἴεται ἀγαθὰ, ἐκείνου

 ἕνεκα

ἕνεκα, ἀλλὰ μὴ αὐτοῦ, καὶ τὸ κατὰ δύναμιν
πρακτικὸν εἶναι τούτων. τὸ δὲ μισεῖν τοὐναν-
τίον. τῷ μὲν οὖν φιλεῖν καὶ τῇ πραότητι ἀ-
κολουθοῦσι ἔλεος, καὶ ζῆλος. τῇ δὲ ὀργῇ καὶ
τῷ μίσει νέμεσις, καὶ φθόνος. ἔστω δὴ ὁ
ἔλεος, λύπη τις ἐπὶ τῷ φαινομένῳ κακῷ
φθαρτικῷ, καὶ λυπηρῷ τοῦ ἀναξίου τυγχά-
νειν, ὃ κἂν αὐτὸς προσδοκήσειε παθεῖν, ἢ
τῶν αὐτοῦ τινά, καὶ τοῦτο, ὅταν πλησίον
φαίνηται. ἡ δὲ νέμεσις λυπεῖσθαι ἐπὶ τῷ
φαινομένῳ ἀναξίως εὐπραγεῖν. ὁ δὲ φθό-
νος λύπη τις ἐπὶ εὐπραγίᾳ φαινομένῃ τῶν
ἀγαθῶν ἐπὶ τοὺς ὁμοίους, μὴ ἵνα τι αὐτῷ,
ἀλλὰ δι' ἐκείνους. ὁ δὲ ζῆλος λύπη τις ἐπὶ
φαινομένῃ παρουσίᾳ ἀγαθῶν ἐντίμων, καὶ
ἐνδεχομένων αὐτῷ λαβεῖν περὶ τοὺς ὁμοίους
τῇ φύσει, οὐχ ὅτι ἄλλῳ, ἀλλ' ὅτι οὐχὶ καὶ αὐ-
τῷ ἐστι. ἡ μὲν οὖν δικανικὴ λέξις ἀκριβεστέ-
ρον, ἢ δημηγορική. ἔτι δὲ μᾶλλον, εἰ ἑνὶ
κριτῇ. ἐλάχιστον γάρ ἐστιν ἐν ῥητορικοῖς·
εὐσύνοπτον γὰρ μᾶλλον τὸ οἰκεῖον τοῦ
πράγματος, καὶ τὸ ἀλλότριον, καὶ ὁ ἀγὼν
ἄπεστιν ὥστε καθαρὰ ἡ κρίσις. διὸ οὐχ οἱ
αὐτοὶ ἐν πᾶσι τούτοις εὐδοκιμοῦσι ῥήτορες.
ἀλλ' ὅπου μάλιστα ὑποκρίσεως, ἐνταῦθα
ἥκιστα ἀκρίβεια ἔνι. τοῦτο δέ, ὅπου φωνῆς,

καὶ

καὶ μάλιστα, ὅταν μεγάλης. ἔστι δὲ τοῦ λόγου
δύο μέρη ἀναγκαῖα, πρόθεσις, καὶ πίστις.
διήγησις τοῦ δικανικοῦ λόγου μόνου ἐστίν. καὶ
τούτου ἴδια τὰ πρὸς ἀντίδικον· ὁ δ᾽ ἐπί-
λογος οὐδὲ δικανικοῦ πάντως, οἷον ἐὰν μι-
κρὸς ὁ λόγος, ἢ τὸ πρᾶγμα εὐμνημόνευ-
τον· συμβαίνει γὰρ τοῦ μήκους ἀφαιρεῖσθαι.
δεῖ δὲ ἀρχόμενον μὲν λέγειν τὰς ἑαυτοῦ πίστεις
πρότερον, ὕστερον δὲ πρὸς τὰ ἐναντία ἀπαν-
τῶν, λύοντα, καὶ προσδιασύροντα. ἂν δὲ
πολύχους ἡ ἐναντίωσις, πρότερον τὰ ἐναν-
τία. ὕστερον δὲ λέγοντα, πρῶτον τὰ πρὸς
τὸν ἐναντίον λόγον λεκτέον, λύοντα, καὶ
ἀντισυλλογιζόμενον, καὶ μάλιστα ἂν εὐδο-
κιμηκότα ᾖ. τὸ δὲ προοίμιον ἐστιν ἀρχὴ
λόγου· τὸ μὲν οὖν ἀναγκαιότατον ἔργον τοῦ
προοιμίου, καὶ ἴδιον τοῦτο, δηλῶσαι τὸ τέ-
λος, οὗ ἕνεκα ὁ λόγος. διόπερ ἂν δῆλον ᾖ,
καὶ μικρὸν τὸ πρᾶγμα, οὐ χρηστέον προοι-
μίῳ· τὰ δὲ ἄλλα εἴδη, οἷς χρῶνται, ἰα-
τρεύματα, καὶ κοινά. λέγεται δὲ ταῦτα,
ἔκ τε τοῦ λέγοντος. καὶ τοῦ ἀκροατοῦ· καὶ τοῦ
πράγματος· καὶ τοῦ ἐναντίου. πρόθεσις δὲ
μέρος ἀναγκαῖον ἐστι, ὥσπερ εἴρηται. ἐν
δὲ διηγήσει οὐκ ἔστι τὸ εὖ, ἢ τὸ ταχὺ, ἢ
τὸ συντόμως, ἀλλὰ τὸ μετρίως. τοῦτο δ᾽

ἐστὶ τὸ λέγειν, ὅσα δηλώσει τὸ πρᾶγμα, ἢ ὅσα ποιήσει ὑπολαβεῖν γεγονέναι, ἢ βεβλαφέναι, ἢ ἠδικηκέναι, ἢ τηλικαῦτα, ἡλίκα βούλει, τῷ δὲ ἐναντίῳ τὰ ἐναντία. παραδιηγεῖσθαι δὲ δεῖ, ὅσα εἰς τὴν σὴν ἀρετὴν φέρει, οἷον ἐγὼ δ᾽ ἐνουθέτουν, ἀεὶ τὰ δίκαια λέγων, μὴ τὰ τέκνα ἐγκαταλείπειν· ἢ θατέρου κακίαν, ὁ δὲ ἀπεκρίνατό μοι, ὅτι οὗ ἂν ᾖ αὐτός, ἔσται ἄλλα παιδία, ὃ τοὺς ἀφισταμένους Αἰγυπτίους ἀποκρίνασθαι φησὶν ὁ Ἡρόδοτος· ἢ ὅσα ἡδέα τοῖς δικασταῖς. ἀπολογουμένῳ δὲ ἐλάττων ἡ διήγησις, ἠθικὴν δὲ δεῖ τὴν διήγησιν εἶναι. ἐκ τῶν παθητικῶν λέγειν, διηγούμενον, καὶ τὰ ἑπόμενα, καὶ ἃ ἴσασι, καὶ τὰ ἴδια ἑαυτῷ, ἢ ἐκείνῳ προσόντα, πολλαχοῦ δὲ δεῖ διηγεῖσθαι, καὶ ἐνίοτε οὐκ ἐν ἀρχῇ. ἔστι δὲ τὰ ἐνθυμήματα δικανικώτερα· ἡ γὰρ πίστις δικανική ἐστι περὶ τῶν ὄντων, ἢ μὴ ὄντων, οὗ μᾶλλον ἀπόδειξίς ἐστιν, καὶ διὰ ἀνάγκην· ἔχει γὰρ τὸ γεγονὸς ἀνάγκην. τὰ δὲ πρὸς τὸν ἀντίδικον, οὐχ ἕτερόν τι εἶδος, ἀλλὰ τῶν πίστεών ἐστι, τὰ μὲν λῦσαι ἐνστάσει, τὰ δὲ συλλογισμῷ. ἐπεὶ δὲ τὰ ἐνθυμήματα λέγεται ἐκ τεσσάρων, τὰ δὲ τέσσαρα ταῦτά ἐστιν, εἰκός, παράδειγμα, σημεῖον, τεκμήριον,

μόριον, οὐχ ἱκανὸν, ἐὰν λύσῃ εἰκὸς, ὅτι οὐκ ἀναγκαῖον· ἀλλὰ δεῖ λύειν, ὅτι οὐκ εἰκός. τοῦτο δὲ συμβήσεται, ἐὰν ᾖ ἡ ἔνστασις μᾶλλον, ὡς ἐπὶ τὸ πολύ. ἐνδέχεται δὲ εἶναι τοιαύτην διχῶς, ἢ τῷ χρόνῳ, ἢ τοῖς πράγμασι. κυριώτατον δὲ, εἰ ἀμφοῖν. εἰ γὰρ τὰ πλεονάκις οὕτω, τοῦτ' ἐστὶν εἰκὸς μᾶλλον. πρὸς δὲ τὰ παραδείγματα ἡ αὐτὴ λύσις, καὶ τὰ εἰκότα. ἐάν τε γὰρ ἔχωμεν ἓν οὐχ οὕτω, λέλυται, ὅτι οὐκ ἀναγκαῖον, ἢ καὶ τὰ πλείω, καὶ πλεονάκις ἄλλως. ἐὰν δὲ καὶ τὰ πλείω, καὶ τὰ πλεονάκις οὕτω, μαχητέον, ἢ ὅτι τὸ παρὸν οὐχ ὅμοιον, ἢ οὐχ ὁμοίως, ἢ διαφορὰν γέ τινα ἔχει. λύεται δὲ τὰ σημεῖα, καὶ τὰ διὰ σημείου ἐνθυμήματα εἰρημένα, κἂν ᾖ ὑπάρχοντα· ὅτι γὰρ ἀσυλλόγιστόν ἐστι πᾶν σημεῖον, δῆλον ἡμῖν ἐκ τῶν ἀναλυτικῶν. τὰ δὲ τεκμήρια, καὶ τεκμηριώδη ἐνθυμήματα, κατὰ μὲν τὸ ἀσυλλόγιστον, οὐκ ἔσται λῦσαι, δῆλον δὲ καὶ τοῦτ' ἡμῖν ἐκ τῶν ἀναλυτικῶν. λείπεται δὲ, ὡς οὐχ ὑπάρχει, τὸ λεγόμενον, δεικνύναι· εἰ δὲ φανερὸν, καὶ ὅτι ὑπάρχει, καὶ ὅτι τεκμήριον, ἄλυτον ἤδη γίγνεται τοῦτο. πάντα γὰρ γίγνεται ἀποδείξει ἤδη φανερά. ὁ δ' ἐπίλογος, ὥσπερ εἴρηται, ἐκ τεττάρων σύγκειται.

ἐκ τοῦ

ἔκ τε τοῦ πρὸς ἑαυτὸν κατασκευάζειν εὖ τὸν ἀκροατὴν, ἢ τὸν ἐναντίον φαῦλον. ἢ ἐκ τοῦ αὐξῆσαι, καὶ ταπεινῶσαι· ἢ ἐκ τοῦ εἰς τὰ πάθη τὸν ἀκροατὴν καταστῆσαι· ἢ ἐξ ἀναμνήσεως.

ΤΕΛΟΣ.
